# TEZAUR LITURGIC

## 27 AUGUST

# PARACLISUL SF.MARE MUCENIC FANURIE DE LA RHODOS

ATENA,2020

www.tezaurliturgic.ro



# 27 ΑΥΓΟΥΣΤΟΥ
# ΠΑΡΑΚΛΗΣΙΣ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΦΑΝΟΥΡΙΟΥ

Εὐλογήσαντος τοῦ Ἱερέως λέγομεν τόν Ψαλμόν ΡΜΒ΄ (142), «Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου...» καί τό «Θεός Κύριος» μετά τῶν στίχων αὐτοῦ. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῷ τοῦ Σωτῆρος εὐκλεεῖ ἀθλοφόρῳ καὶ τῶν Ῥοδίων ἀκραιφνεῖ πολιούχῳ, ἀπὸ ψυχῆς προσπέσωμεν κραυγάζοντες· ἅγιε Φανούριε, ἀπὸ πάσης ἀνάγκης, λύτρωσαι τοὺς δούλους σου, τοὺς τιμῶντάς σε πόθῳ· σὺ γὰρ θεόθεν δέδοσαι ἡμῖν, θεῖος προστάτης καὶ φύλαξ σωτήριος.

Δόξα. Τό αὐτό. Καὶ νῦν. Θεοτοκίον.

**Ο**ὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50ος) Ψαλμός καί ὁ Κανών.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

**Φωνῆς** στεναγμοῦ μου ὡς συμπαθής, Φανούριε Μάρτυς, ἐνωτίσθητι εὐμενῶς· καὶ λῦσον παθῶν τὴν καταιγίδα, τὴν ἐπελθοῦσαν δεινῶς τῇ καρδίᾳ μου.

**Ῥανίσι** τῶν θείων σου πρεσβειῶν, ψυχῆς μου τὰ ἕλκη ἐναπόπλυνον, Ἀθλητά, καὶ σβέσον τοῦ σώματος τὴν νόσον, ταῖς ἐπομβρίαις τῆς σῆς ἀντιλήψεως.

**Ὁλόσωμον** δέδεγμαι τὴν πληγήν, ἐχθροῦ ταῖς βολῖσι καὶ νενέκρωμαι τὴν ψυχήν· σὺ οὖν θεραπεύεις με, Μάρτυς, πρὸς ζωηφόρους ὁδοὺς κατευθύνων με.

**Ὑπάρχων** ἀνάπλεως φωτισμοῦ, Φανούριε Μάρτυς, ὡς διάκονος τοῦ φωτός, νοός μου ἀπέλασον τὸ σκότος καὶ ἀρετῶν τῷ φωτί με καταύγασον.

Θεοτοκίον.

**Ῥημάτων** ἐξεπλήρωσης νομικῶν ὡράθης, Παρθένε, ὡς γεννήσασα τὸν Θεόν· τὸν πάλαι λαλήσαντα ἐν νόμῳ, δι΄αἰνιγμάτων καὶ τύπων, Πανάμωμε.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

**Ἐμπεσὼν** τῷ πελάγει τῶν πειρασμῶν, ἔνδοξε, τῷ τῆς ἀπωλείας πυθμένι ἤδη καθέλκομαι· σὺ μὲ κυβέρνησον πρὸς σωτηρίας λιμένα, οἷα κυβερνήτης μου, σοφὲ, πανάριστος.

**Ἱλασμὸς** γενηθήτω καὶ τῶν κακῶν λύτρωσις, ἡ μαρτυρική σου πρεσβεία, Μάρτυς Φανούριε, τοῖς προσιοῦσι σοι καὶ ὁλικῶς ἀφορῶσι, πρὸς τὴν ὀξυτάτην σου, μάκαρ, προμήθειαν.

**Μαρτυρίου** τὴν τρίβον πανευκλεῶς ὥδευσας, ὅθεν πρὸς ὁδὸν μαρτυρίου τοῦ σὲ δοξάσαντος, κἀμὲ ὁδήγησον τὸν ἐν ὄρεσι, Μάρτυς, πάσης παραβάσεως περιπλανώμενον.

Θεοτοκίον.

**Ἐπουράνιε** πύλη, δι΄ἧς ἡμῖν ἔλαμψεν, ὁ Δημιουργὸς τῶν ἁπάντων, καθάπερ ἄνθρωπος, πύλας μοι ἄνοιξον, τῆς ἀληθοῦς μετανοίας καὶ πυλῶν με λύτρωσαι τοῦ ᾅδου, Δέσποινα.

**Διάσωσον** ἀπὸ κινδύνων τοὺς δούλους σου, Ἀθλοφόρε, ὅτι πάντες τῇ σῇ πρεσβείᾳ προστρέχομεν, ἵνα ῥυσθῶμεν, Φανούριε, πάσης βλάβης.

**Ἐπίβλεψον** ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

**Πλεόντων** σωτήρ, ἀδικουμένων σύμμαχος, πενθούντων χαρά καὶ αἰχμαλώτων λύτρωσις δεικνύμενος, Φανούριε, ὡς ταχὺς Ὀρθοδόξων ἐπίκουρος, μὴ διαλίπῃς ἀτρώτους τηρεῖν, ἐκ τῶν βελῶν τοῦ ἀλάστορος τοὺς δούλους σου.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

**Τὴν** λιθώδη καρδίαν μου καὶ πεπωρωμένην ψυχὴν κατάνυξον, ὁ τῶν λίθων τὰ προσκρούματα, Μάρτυς, ὑπομείνας ὥσπερ ἄσαρκος.

**Ἀναβλύζεις** ἑκάστοτε, τὰ τῶν ἰαμάτων θεῖα χαρίσματα, τοῖς προστρέχουσι τῇ σκέπῃ σου καὶ τῶν νοσημάτων ἐξαίρεις καύσωνα.

**Ἰατήριον** ἄμισθον, τοῖς ἐν ἀσθενείαις γενοῦ, Φανούριε, καὶ τοῖς πάσχουσιν ἀντίληψις καὶ τοῖς αἰχμαλώτοις ἀπολύτρωσις.

**Σωτηρίας** ἱμάτιον, ἐν τῇ ἀπεκδύσει σαρκὸς ἠμφίεσαι, ὅθεν ἔνδυσον, Φανούριε, τὴν γεγυμνωμένην ψυχήν μου χάριτι.

Θεοτοκίον.

**Στάμνος** ἔμψυχος πέφηνας, τῆς ζωῆς τὸ μάννα κόσμῳ πηγάσασα, τὸν ζωώσαντα τὸν ἄνθρωπον καὶ τὴν ἁμαρτίαν θανατώσαντα.

Ὠδὴ ε´. Φώτισον ἡμᾶς.

**Ἄνωθεν** ἡμᾶς, ἐποπτεύεις ἐκλυτρούμενος, ἐκ παντοίων ἀναγκῶν καὶ συμφορῶν, τοὺς ἐν πίστει εὐφημοῦντάς σε, Φανούριε.

**Ἵλεων** ἡμῖν, τῇ ἐνθέρμῳ μεσιτείᾳ σου, τοῦ ἐλέους, Ἀθλητὰ, τὸν θελητὴν, ἀπεργάζου τοῖς ἀφρόνως ἁμαρτάνουσι.

**Σώματος** πληγάς ἐνεγκὼν στεῤῥῶς, Φανούριε, ἰατρεύεις τῶν σωμάτων καὶ ψυχῶν ἀῤῥωστίας καὶ ὀδύνας, Θείῳ Πνεύματι.

Θεοτοκίον.

**Φέγγος** ἀστραπῆς τοῦ Υἱοῦ σου, Κόρη, ἔλαμψε, τοὺς ἐν σκότει καθημένους καὶ σκιᾷ καὶ ζωῆς τὰς φωταυγείας ἐδωρήσατο.

Ὠδὴ στ´. Τὴν δέησιν ἐκχεῶ.

**Ἀνάγκας** σου τῆς ψυχῆς τὸν ἔρωτα, ὡς λαμπάδα πρὸς Χριστὸν, Ἀθλοφόρε, καταναλίσκεις τῆς πλάνης τὴν ὕλην καὶ

καταθάλπεις πιστῶν τὰ φρονήματα· διὸ κατάφλεξον κἀμοῦ, τὰ σαθρὰ καὶ γεώδη νοήματα.

**Νεκρώσεως** τῷ καρπῷ ἐζώγρημαι καὶ τοῦ θείου ἀπεῤῥίφθην νυμφῶνος, τὰ τῆς φθορᾶς περικείμενος φύλλα καὶ τοῦ θανάτου προφέρων τὴν ἄκανθαν, σὺ οὖν με ζώωσον, σοφέ, καὶ τῆς πρώην με δόξης ἀξίωσον.

**Ὁλόκληρον** σεαυτὸν προσήγαγες, τῷ Δεσπότῃ προσφορὰν καὶ θυσίαν, ὅθεν κἀμὲ ἐνδυνάμωσον, Μάρτυς, Αὐτῷ λατρεῦσαι ὁσίως, Φανούριε, καὶ θῦσαι Τούτῳ καθαρῶς, καθαρᾶς πολιτείας ἀκρότητα.

Θεοτοκίον.

**Ὑψαύχενα** δυσμενῆ ὑπόταξον, ταῖς ποσὶν ἡμῶν, Πανάμωμε Κόρη, ἡ τὴν πεσοῦσαν ὑψώσασα φύσιν, τῇ ὑψηλῇ καὶ ἀῤῥήτῳ κυήσει σου· καὶ ταπεινώσασα ἐχθροῦ ἐπηρμένου μετέωρον φρόνημα.

**Διάσωσον** ἀπὸ κινδύνων τοὺς δούλους σου, Ἀθλοφόρε, ὅτι πάντες τῇ σῇ πρεσβείᾳ προστρέχομεν, ἵνα ῥυσθῶμεν, Φανούριε, πάσης βλάβης.

**Ἄχραντε** ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.

Ὑπερήφανον ὄμμα κατέβαλες, τῇ γενναίᾳ ἀθλήσει σου, ἔνδοξε, ἐξ οὗ ἀπάλλαξον καὶ ἡμᾶς τῆς ἐνεργείας, Ἀθλητά, ἵνα ἡσύχιον ζωήν, ἐν ὁμονοίᾳ ἁγαστῇ, οἱ βοῶντες διάγωμεν· πλήρωσον τὰς αἰτήσεις καὶ ἔμπλησον εὐφροσύνης, τοὺς προσιόντάς σοι πιστῶς, ὦ Φανούριε πανθαύμαστε.

Καὶ εὐθὺς τὸ Προκείμενον·

**Δίκαιος** ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον

(ι΄32 - 36, ια΄ 1)

**Εἶπεν** ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς· ὅστις δ΄ἄν ἀρνήσηταί με ἔμπροσθεν τοῦ Πατρός μου, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. Ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς

αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς· καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ· καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα Μαθηταῖς αὐτοῦ, μετέβη ἐκεῖθεν, τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν.

**Δόξα.** Ταῖς τοῦ Ἀθλοφόρου…

**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου…

Στίχ. Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός….

Ἦχος πλ. β´. Ὅλην ἀποθέμενοι.

**Ῥόδον** ὡς μυρίπνοον καὶ θησαυρὸς ζωηφόρος, ἐν Ῥόδῳ κρυπτόμενος, Μάρτυς, πεφανέρωσαι τοῖς ἱκέταις σου· καὶ ζωῆς ἔμπνευσας, τὰς ὀσμὰς ἐν κόσμῳ καὶ ὀσμὴν θανάτου ἤλασας καὶ ἀπεδίωξας τὰς δυσώδεις νόσους, Φανούριε· ὧν περ τῆς λύμης λύτρωσαι, τοὺς σοὶ προσιόντας ἐκ πίστεως· πάσης ἐπηρείας καὶ βλάβης καὶ μανίας ἀπηνοῦς διαφυλάττων, μακάριε, τοὺς προσκαλουμένους σε.

Ὠδὴ ζ´. Παῖδες Ἑβραίων.

**Ῥείθροις** τῶν θείων σου θαυμάτων, ἀποξήρανον βυθὸν τῶν παθημάτων καὶ πρὸς ὕδωρ τροφῆς ἐξ αὐχμηρᾶς ἐρήμου, ὁδήγησον, Φανούριε, τοὺς πιστῶς σε ἀνυμνοῦντας.

**Ἴδοιμι** ὥρᾳ τῆς ἀνάγκης, σὲ συλλήπτορα καὶ θεῖον ἀρωγόν μου, τὰ λυποῦντα ταχύ σκεδάζοντα, παμμάκαρ, καὶ θείαν μοι δωρούμενον, λύτρωσιν καὶ εὐφροσύνην.

**Ἔλαμψας**, Μάρτυς, ἐν τῇ Ῥόδῳ, ὡς νεόφωτον καὶ φωτοφόρον ἄστρον, ἰαμάτων αὐγάς καὶ φέγγος χαρισμάτων, ἀστράπτον τοῖς καθεύδουσιν, ἐν τῷ σκότει τῆς ἀπάτης.

Θεοτοκίον.

**Πῖον** καὶ σύσκιον ὡράθης καὶ ἀλάξευτον καὶ φωτοφόρον ὄρος, οἷς ἐν τύποις ποτέ, ἐλάλησεν ὁ λόγος, ὧν βλέποντες τὴν ἔκτασιν, εὐφημοῦμέν σε Παρθένε.

Ὠδὴ η´. Τὸν ἐν Ὄρει ἁγίῳ.

**Ῥυπτικῇ** σου πρεσβείᾳ ἐκκαθαίρεις, τῶν ψυχῶν τὰς οὐλὰς καὶ καρδιῶν τὰ βάρη καὶ ἀλγηδόνας παύεις τὰς τοῦ σώματος καὶ βραβεύεις πᾶσι, κατ´ἄμφω εὐρωστίαν, Φανούριε θεόφρον.

**Ἐν καμίνῳ** βληθεὶς οὐ κατεφλέχθης, τῆς ζωῆς γὰρ ὡς πῦρ, ἐκέκτησο τὸ ὕδωρ· ἀλλὰ κἀμοῦ κατάφλεξον, Φανούριε, τὰς δεινὰς προλήψεις καὶ τὰς ἐνθυμήσεις, ὥσπερ ἀγροῦ καλάμην.

**Στρατευθεὶς** τῷ καλέσαντί σε λόγῳ, ἠγωνίσω λαμπρῶς κατὰ τῆς ἀνομίας, ὅθεν κἀμὲ τῆς

κλήσεως ᾗ κέκλημαι, ἄξιον ἐργάτην ἀνάδειξον, παμμάκαρ, εὐχαῖς σου εὐπροσδέκτοις.

Θεοτοκίον.

**Βασιλείας** οἰκήτορά με δεῖξον τῆς ἀλήκτου, Ἁγνή, ὡς τέξασα ἀσπόρως, τὸν Βασιλέα πάντων καὶ δεσπόζοντα, Οὗ ἡ βασιλεία ἀνεώχθη διά σοῦ καί μένει εἰς αἰῶνας.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

**Ἐλαίῳ** τῶν ἀγώνων σου, Ἀθλητά, ἱλαρύνεις ἡμῶν τὴν διάνοιαν καὶ ψυχικά ἕλκη τε καὶ μώλωπας χαλεπούς ἀνακαθαίρεις πάντοτε· καὶ τὰ τῶν σωμάτων ὀδυνηρά νοσήματα ἴᾶσαι, ὡς χάριν κεκτημένος παρὰ Θεοῦ, Μάρτυς Φανούριε.

**Ἰσχύϊ** ἀριστεύσας παντουργικῇ, τοῦ ἐχθροῦ ὡς ἀνίσχυρον φρύαγμα τὸ καθ΄ἡμῶν σβέσον, Ἀθλοφόρε, ὁλοσχερῶς καὶ σθένος καὶ κραταίωμα καὶ ἰσχύος πύργος διαπαντός, γενοῦ τοῖς σοῖς ἱκέταις, Φανούριε παμμάκαρ, τῶν ἀθλοφόρων ἐγκαλλώπισμα.

**Ἀκοίμητος** προστάτης καὶ ἀρωγός, ἀντιλήπτωρ γενοῦ καὶ ὑπέρμαχος καὶ βοηθός, τοῖς προσκαλουμένοις εἰλικρινῶς, τὸ ἱερόν σου ὄνομα, Μάρτυς Ἀθλοφόρε θαυματουργέ, ἐξ ἔριδος καὶ φθόνου, ἀπάτης τε καὶ δόλου ἡμᾶς ῥυόμενος, Φανούριε.

**Ἰλύος** κἀμὲ ὕψωσον ἐμπαθοῦς καὶ πικρᾶς συνηθείας, Φανούριε, ᾗ ἐκ παιδός, εἴκων ἐγεώργησα τοὺς καρπούς τῆς ἁμαρτίας, Ἅγιε, ψυχῇ τε καὶ σώματι ῥυπωθείς· μὴ με παρίδῃς, Μάρτυς, σὺ γὰρ τῶν ἐν ἀνάγκαις, ὁ ἑτοιμότατος ἐπίκουρος.

Θεοτοκίον.

**Σκηνὴ** ἡ πολυώνυμος τοῦ Θεοῦ, ἡ περίδοξος πόλις τοῦ Κτίσαντος, ἐν ᾗ Χριστός εἴργασται θαυμάσια φοβερά· τὸν γὰρ Ἀδὰμ ἀνέλαβε, τοῦτον ἀναπλάσας ἐκ τῆς ἀρᾶς, σὺ εἶ Παρθενομῆτορ, διὸ μὴ στερηθείην, τῆς προστασίας σου ὁ ἄθλιος.

**Ἄξιόν** ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ· τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

**Χαίροις** τῶν Μαρτύρων ἡ καλλονή καὶ τῶν ἰαμάτων ὁ χειμάῤῥους ὁ δαψιλής· χαίροις τῶν Ῥοδίων ὁ μέγας πολιοῦχος, Φανούριε, ἀξίως ἀντιδεδόξασαι.

**Τὶς** τῶν παλαισμάτων σου τὴν πληθύν, ἐξείπῃ ἀξίως καὶ τῶν πόνων τὸ καρτερόν; σὺ γὰρ τῶν

βασάνων τὰ εἴδη καθυπέστης, ὡς ἄσαρκος νεκρώσας τὸν παναλάστορα.

**Ὡς** ἄστρον ἐν Ῥόδῳ ἀρτιφανές, Φανούριε, ὤφθης, εἰ καὶ ἤθλησας πρὸ πολλοῦ καὶ καταφωτίζεις πιστῶν τὰς διανοίας, βολαῖς τῶν σῶν ἀπείρων θαυμάτων, ἔνδοξε.

**Πυρὸς** ἀκμαιότερος ἀληθῶς καὶ σιδήρου, Μάρτυς, εὐτονώτερος ὁραθείς, τὴν οἰκονομίαν ἐτράνωσας τοῦ Λόγου, τοῖς ἔργοις βεβαιώσας ὃ ἀνεκήρυξας.

**Πάντας** τοὺς προστρέχοντας εὐλαβῶς, τῷ σεπτῷ ναῷ σου καὶ αἰτοῦντας ἀπὸ ψυχῆς, λύσιν ὀφλημάτων καὶ ῥῶσιν καὶ ὑγείαν, μὴ παύσῃ ἐποπτεύων παραμυθούμενος.

**Πᾶσαι** τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τρισάγιον.

Ἀπολυτίκιον. Ἦχος δ΄. Βασίλειον διάδημα.

**Οὐράνιον** ἐφύμνιον ἐν γῇ τελεῖται λαμπρῶς, ἐπίγειον πανήγυριν νῦν ἑορτάζει φαιδρῶς, Ἀγγέλων πολίτευμα· ἄνωθεν ὑμνῳδίαις εὐφημοῦσι τοὺς ἄθλους, κάτωθεν Ἐκκλησία τὴν οὐράνιον

δόξαν· ἣν εὗρες πόνοις καὶ ἄθλοις τοῖς σοῖς, Φανούριε, ἔνδοξε.

**Δέσποινα** πρόσδεξαι τάς δεήσεις τῶν δούλων σου καί λύτρωσαι ἡμᾶς ἀπό πάσης ἀνάγκης καί θλίψεως.

**Τήν πάσαν** ἐλπίδα μου εἰς σέ ἀνατίθημι, Μήτερ τοῦ Θεοῦ φύλαξόν με ὑπό τήν σκέπην σου.

Εἶτα μνημονεύει ὁ Ἱερεύς, δι´ οὓς ἡ Παράκλησις γίνεται.

Μετὰ δὲ ταύτην τὸ Προσόμοιον·

Ἦχος β´. Ὅτε ἐκ τοῦ ξύλου σὲ νεκρόν.

**Ὤφθης** ὥσπερ λύχνος φαεινός, Μάρτυς, ἐναθλήσας νομίμως, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, ὅθεν σοῦ δεόμεθα, μακρὰν ἀπέλασον, ἐξ ἡμῶν ταῖς πρεσβείαις σου, παθῶν τὴν ὁμίχλην καὶ τῶν περιστάσεων πικρὰν σκοτόμαιναν· φέγγος δὲ ἀνάτειλον πᾶσι, θείας θυμηδίας καὶ δόξης, ἀξιομακάριστε Φανούριε.

Ἀπόλυσις.

